# Η ΕΟΡΤΗ ΤΟΥ ΕΝ ΟΥΡΑΝΩι ΦΑΝΕΝΤΟΣ ΣΗΜΕΙΟΥ ΤΟΥ ΣΤΑΥΡΟΥ

Τό Σάββατον, 7ην/20ήν Μαΐου 2023, ἑωρτάσθη ὑπό τοῦ Πατριαρχείου ἡ ἑορτή τοῦ ἐν οὐρανῷ φανέντος σημείου τοῦ Σταυροῦ.

Κατά τήν ἑορτην ταύτην ἡ Ἐκκλησία, ἰδίᾳ ἡ τῶν Ἱεροσολύμων ἀναμιμνῄσκεται ὅτι π τό ἔτος 351, ἐπί τῶν ἡμερῶν τῆς Ἀρχιερατείας τοῦ Ἀρχιεπισκόπου Ἱεροσολύμων Κυρίλλου καί ἐπί τῶν ἡμερῶν τῆς Ἁγίας Πεντηκοστῆς περί τήν τρίτην ὥραν τῆς ἡμέρας ἐφάνη σταυρός ἐξ ἀστέρων λαμπρῶν ἁπλουμένων ἀπό τοῦ Φρικτοῦ Γολγοθᾶ ἕως τοῦ Ὄρους τῶν Ἐλαιῶν γενόμενος ἐμφανέστατατος εἰς πάντας τούς κατοίκους τῆς  Ἱερουσαλήμ.

Πηγήν τοῦ γεγονότος τούτου ἀποτελεῖ ὁ ἴδιος ὁ Ἀρχιεπίσκοπος Κύριλλος εἰς τήν ἐπιστολήν αὐτοῦ πρός Κωνστάντιον τόν βασιλέα, υἱόν τοῦ Μεγάλου Κωνσταντίνου.

Πρός τιμήν τοῦ γεγονότος τούτου ἐτελέσθη θεία Λειτουργία ἐπί τοῦ Φρικτοῦ Γολγοθᾶ, προεξάρχοντος τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Γεράσων κ. Θεοφάνους, συλλειτουργούντων τῶν Ἱερέων τοῦ Ναοῦ τῆς Ἀναστάσεως καί τῶν Ἀρχιμανδριτῶν Νεκταρίου, Μελετίου καί Κλαυδίου τοῦ π. Χάδερ καί τοῦ Ἀρχιδιακόνου π. Μάρκου καί τοῦ διακόνου π. Δοσιθέου, ψάλλοντος τοῦ Ἱεροδιακόνου π. Συμεών μετά τῶν μαθητῶν τῆς Πατριαρχικῆς Σχολῆς Σιών καί μετέχοντος εὐλαβοῦς ἐκκλησιάσματος ἐξ ἐντοπίων καί προσκυνητῶν.

Ἅμα τῇ Ἀπολύσει τῆς θείας Λειτουργίας ἤρξατο ἀπό τοῦ Προσκυνήματος τῆς Ἁγίας Ἀποκαθηλώσεως  λιτανεία τρίς πέριξ τοῦ Ἁγίου Τάφου, τῇ συμμετοχῇ τῶν Ἀρχιερέων τῆς Ἀδελφότητος καί παντός τοῦ ἐκκλησιάσματος.

Μετά ταύτην πρό τοῦ Κουβουκλίου τοῦ Ἁγίου Τάφου ἀνεγνώσθη τό Ἱερόν Εὐαγγέλιον τῆς Ἀναστάσεως καί ἡ ἐπιστολή τοῦ Ἀρχιεπισκόπου Κυρίλλου ἑλληνιστί καί ἀραβιστί, ἡ περιγράφουσα τό γεγονός τοῦτο, παρατιθεμένη ἐνταῦθα ὡς ἕπεται:

*ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΟΝ ΤΟΝ ΕΥΣΕΒΕΣΤΑΤΟΝ ΒΑΣΙΛΕΑ*

*«Περί τοῦ ἐν οὐρανοῖς φανέντος σημείου τοῦ Σταυροῦ ἐκ φωτός ἐν Ἱεροσολύμοις ὀφθέντος*

*Βασιλεῖ θεοφιλεστάτῳ καί εὐσεβεστάτῳ*

*Κωνσταντίῳ Αὐγούστῳ,*

*Κύριλλος, ὁ ἐν Ἱεροσολύμοις Ἐπίσκοπος,*

*ἐν Κυρίῳ χαίρειν*

*Ἐπί μέν τοῦ θεοφιλεστάτου καί μακαρίας μνήμης Κωνσταντίνου, τοῦ σοῦ Πατρός, τό σωτήριον τοῦ Σταυροῦ ξύλον ἐν Ἱεροσολύμοις ηὕρηται, τῆς θείας χάριτος, τῷ καλῶς ζητοῦντι τήν εὐσέβειαν, τῶν ἀποκεκρυμμένων Ἁγίων Τόπων παρασχούσης τήν εὕρεσιν. Ἐπί δέ σοῦ, Δέσποτα, Πανευσεβέστατε Βασιλεῦ, προγονικήν εὐσέβειαν*

*μείζονι τῇ πρός τόν θεόν εὐλαβείᾳ νικῶντος, οὐκ ἀπό γῆς λοιπόν, ἀλλ' ἐξ οὐρανῶν τά θαυματουργήματα καί τοῦ Κυρίου καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Μονογενοῦς Υἱοῦ τοῦ θεοῦ, τό τῆς κατά τοῦ θανάτου νίκης τρόπαιον, ὁ μακάριος λέγω Σταυρός, φωτός μαρμαρυγαῖς ἀπαστράπτων ἐν Ἱεροσολύμοις ὤφθη.*

*Ἐν γάρ ταῖς ἁγίαις ταύταις ἡμέραις τῆς Ἁγίας Πεντηκοστῆς, Νόνναις Μαΐαις, περί τρίτην ὥραν, παμμεγέθης Σταυρός ἐκ Φωτός κατεσκευασμένος, ἐν οὐρανῷ, ὑπεράνω τοῦ Ἁγίου Γολγοθᾶ καί μέχρι τοῦ ἁγίου Ὄρους τῶν Ἐλαιῶν, ἐκτεταμένος ἐφαίνετο. Οὐχ ἑνί καί δευτέρῳ μόνον φανείς, ἀλλά παντί τῷ τῆς Πόλεως πλήθει φανερώτατα δειχθείς. Οὐχ ὡς ἄν τις νοήσειεν, ὀξέως κατά φαντασίαν παραδραμών· ἀλλ' ἐπί πλείοσιν ὥραις ὑπέρ γῆν ὀφθαλμοφανῶς θεωρούμενος, καί ταῖς ἀπαστραπτούσαις μαρμαρυγαῖς τάς ἡλιακάς ἀκτῖνας νικήσας· ἦ γάρ ἄν ὑπ' αὐτῶν νικώμενος ἐκαλύπτετο, εἰ μή δυνατωτέρας ἡλίου τοῖς ὁρῶσι παρεῖχε τάς λαμπηδόνας. Ὡς ἅπαν μέν ἀθρόως ἐξ αὐτῆς εἰς ἁγίαν Ἐκκλησίαν ἐπιδραμεῖν τό τῆς πόλεως πλῆθος, τῷ τῆς Θεοπτείας φόβῳ μετ' εὐφροσύνης κατασχεθέν· νέων ἅμα καί πρεσβυτέρων, ἀνδρῶν τε καί γυναικῶν καί πάσης ἡλικίας καί μέχρις αὐτῶν ἤδη τῶν κατ' οἴκους θαλαμευομένων κορῶν· ἐντοπίων τε καί ξένων, Χριστιανῶν τε ἅμα, καί τῶν ἀλλαχόθεν ἐπιδημούντων ἐθνικῶν. Ὁμοθυμαδόν δέ πάντων, ὡς ἐξ ἑνός στόματος Χριστόν Ἰησοῦν, τόν Κύριον ἡμῶν, τόν Υἱόν τοῦ θεοῦ τόν Μονογενῆ, τόν θαυματοποιόν ἀνυμνούντων ἔργῳ τε καί πείρᾳ παραλαβόντων, ὅτι Χριστιανῶν τό δόγμα τό πανευσεβές, οὐκ ἐν πειθοῖς σοφίας ἐστί λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καί δυνάμεως· οὐχ ὑπ' ἀνθρώπων μόνον καταγγελλόμενον, ἀλλ' ἐξ οὐρανῶν θεόθεν μαρτυρούμενον.*

*Ἔτει σωτηρίῳ τριακοσιοστῷ πεντηκοστῷ ἑνί».*

Μετά ταῦτα ἠκολούθησεν ἄνοδος τῆς Ἀρχιερατικῆς  συνοδείας εἰς τό Πατριαρχεῖον ἡ ὁποία καί ὑπέβαλε τά σέβη αὐτῆς εἰς τόν Μακαριώτατον Πατέρα ἡμῶν καί Πατριάρχην Ἱεροσολύμων κ.κ. Θεόφιλον.

**Ἐκ τῆς Ἀρχιγραμματείας.**